Τεμάχη μεγάλαν ἀγαθᾶν.] τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος. καὶ ἐπὶ πλακοῦντος. ἐπὶ δὲ κρεῶν οὐκέτι. ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας. Κρέα τ' ὀρνίθεια.] καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν, τούτων δὲ A μέμνηται τῶν ᾠκειωμένων Νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν ἐπεὶ ἐν Πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέν τοι ὑφ' ἓν ἀναγινώσκειν κρέα τ' ὀρνίθεια. ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν τοῖς Νεφέλαις προσῳκειωμένων τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν.

Σω. Διὰ μέντοι τάσδ' οὐχὶ δικαίως; Στρ. λέξον δή μοι τί παθοῦσαι,
B Εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν.
Οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. Σω. φέρε ποῖαι γάρ τινές εἰσιν;
Στρ. Οὐκ οἶδα σαφῶς. εἴξασιν οὖν ἐρίοισι πεπταμένοισιν.
Κοὐχὶ γυναιξὶ μὰ Δί' οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.
C Σω. Ἀπόκριναί νυν ἅττ' ἂν σ' ἔρωμαι. Στρ. λέγε ταχέως ὅ τι βούλει.
Σω. Ἤδη ποτ' ἀναβλέψας εἶδες Νεφέλην Κενταύρῳ ὁμοίαν;
Ἢ παρδάλει, ἢ λύκῳ, ἢ ταύρῳ; Στρ. νὴ Δί' ἔγωγ'. εἶτα τί τοῦτο;
Σω. Γίνονται πάνθ' ὅ, τι ἂν βούλωνται. κᾆτ' ἢν μὲν ἴδωσι κομήτην
D Ἄγριόν τινα τῶν λασίων τούτων οἷόνπερ τὸν Ξενοφάντου.
Σκώπτουσαι τὴν μανίαν αὐτοῦ, Κενταύροις ᾔκασαν αὑτάς.
Στρ. Τί γὰρ ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα, τί δρῶσιν;
Σω. Ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ, λύκοι ἐξαίφνης ἐγένοντο.

SO. *Has certè propter, nunquid merito?* ST. *cedò quid Nubibus istis*
B *Acciderit (si modò veræ sunt Nubes) quòd consimiles sunt*
*Mulierum: nam nubes non sunt tales.* SO. *quales igitur sunt?*
ST. *Nescio certum: at similes floccis volitantibus esse videntur*
*Nubes: haud mulieribus, ne tantillum: hæ nasutæ etiam sunt.*
C SO. *Responde nunc mihi, quod te rogo.* ST. *quidnam est? dic ocyus, ehem.*
SO. *Nunquam tu suspiciens, vidisti Centauro similem, aut cui*
*Pardo, aut tauro, aut lupo etiam æqualem nubem?* ST. *imò per Olympum.*
*Sed quid tum postea?* SO. *Nubes fiunt omnia, quæ lubet esse.*
D *Quòd si videant comtum aliquem ex hirsutis istis, Xenophantæ*
*Similẽ gnato: rident illius insaniã, & ora ferocis*
*Centauri assumunt.* ST. *sed ubi peculatorem fortè Simonem*
*Conspicere datur, quid agunt tùm Nubes?* So. *ut morem ingeniúmque* (luporum.
*Hominis demõstrent, illicet assimulãt rapida ora*

E

Σχόλια. Διὰ μέντοι τάσδ' οὐχὶ δικαίως.] οὐ δικαίως φησὶν ἠξιοῦτο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.

Bisetus. Εἴξασι] ἐοίκασι, ἐοίκασι. παρὰ τὸ εἴκω, τὸ ὅμοιος τυγχάνω.

Σχόλια. Φέρε ποῖαι γάρ τινες.] δείκνυσιν ἐνταῦθα ὁ Σωκράτης ὡς ἐν ὅσῳ τὶς βλέπει τὰς Νεφέλας τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ. F Αὗται δὲ ῥῖνας ἔχουσιν.] εἰσεληλύθασιν οἱ χορευταὶ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας, γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκὸς αὐτὰς μὴ ἑωρακέναι διὰ τὸ μὴ Νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν. ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικά, οὐκ ἐπὶ τῆς σκηνῆς ὄντως λέλεκται. τοῦ χοροῦ δὲ ἔξω ἑστῶτος καὶ κρυπτομένου, ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ G καταστᾶσαι μηδέπω. προειρήκαμεν δὲ τῶν Νεφελῶν εἶναι. Κενταύρῳ ὁμοίαν.] τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς Νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρομοιούμενα ζώοις ἢ φυτοῖς ἢ ἀνθρωποειδῆ γιγνόμενα, ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν οὐ χρή σε θαυμάζειν εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς. καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τούτων δὲ ἐμνημόνευσεν, ἐκείνων εἵνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται. Κομήτην,] Κλεῖτον λέγει ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος. ἀγρίους, δὲ καὶ καλοποδιώκτας ἐκάλουν τοὺς τὰς ἀπηγορευμένας πράξεις ποιοῦντας. τοὺς παιδεραστάς. Ἱερώνυμον δὲ λέγει τὸν διθυραμβοποιόν. ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο. λάσιον δὲ F εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεομένας, ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. Τί γὰρ ἢν ἅρπαγα.] οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφιλέτης. τίνι φησὶν αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειαν, ἐὰν ἀφομοιοῦσθαι θελήσωσιν ἑαυτὰς Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά. σοφιστὴς δὲ ὁ G Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε. καὶ πάντως τῶν δημοσίων τὶ ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐπὶ τοῖς αὐτοῖς διαβάλλων αὐτὸν ἐγκλήμασιν οὕτως. ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο. κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι, εἰς εὐθύνας ἀγάγωσιν ὧν κατεδήδοκε. (Bisetus. γέγραπται. τί δ' ἢν ἅρπαγα.)